*δὲ νομίζουσιν Ἔρωτα τὸν ἥλιον, Ἀφροδίτην * * ἔχουσι μάλα σεβάσμιον. ἡμεῖς δὲ πολλὴν μὲν Ἔρωτος ὁμοιότητα πρὸς τὸν ἥλιον ὁρῶμεν οὖσαν. πῦρ μὲν γὰρ οὐδέτερός ἐστιν ὥσπερ οἴονταί τινες, αὐ⟨γὴ⟩ δὲ καὶ θερμότης γλυκεῖα καὶ γόνιμος ἡ μὲν ἀπ᾽ ἐκείνου φερομένη σώματι παρέχει τροφὴν καὶ φῶς καὶ αὔξησιν, ἡ δ᾽ ἀπὸ τούτου ψυχαῖς. ὡς δ᾽ ἥλιος ἐκ νεφῶν καὶ μετ᾽ ὁμίχλην θερμό-* C *τερος, οὕτως Ἔρως μετ᾽ ὀργῆς καὶ ζηλοτυπίας ἐρωμένου διαλλαγέντος ἡδίων καὶ δριμύτερος. ἔτι δ᾽ ὥσπερ ἥλιον ἅπτεσθαι καὶ σβέννυσθαι δοκοῦσιν ἔνιοι, ταὐτὰ καὶ περὶ Ἔρωτος ὡς θνητοῦ καὶ ἀβεβαίου διανοοῦνται. καὶ μὴν οὔτε σώματος ἀγύμναστος ἕξις ἥλιον οὔτ᾽ Ἔρωτα δύναται φέρειν ἀλύπως τρόπος ἀπαιδεύτου ψυχῆς· ἐξίσταται δ᾽ ὁμοίως ἑκάτερον καὶ νοσεῖ, τὴν τοῦ θεοῦ δύναμιν οὐ τὴν αὑτοῦ μεμφόμενον ἀσθένειαν. πλὴν ἐκείνῃ γε δόξειαν ἂν διαφέρειν, ᾗ δείκνυσιν ἥλιος μὲν ἐπίσης τὰ καλὰ καὶ τὰ αἰσχρὰ τοῖς ὁρῶσιν, Ἔρως δὲ μόνων τῶν καλῶν φέγγος ἐστὶ καὶ πρὸς ταῦτα μόνα τοὺς ἐρῶντας ἀναπείθει* D *βλέπειν καὶ στρέφεσθαι, τῶν δ᾽ ἄλλων πάντων περιορᾶν.*

SLUB Wir führen Wissen. http://digital.slub-dresden.de/id402389735/382 UNIVERSITÄT LEIPZIG